14 ἐκφοβεῖς με ἐνυπνίοις καὶ ἐν ὁράμασίν με καταπλήσσεις.
15 ἀπαλλάξεις ἀπὸ πνεύματός μου τὴν ψυχήν μου,
ἀπὸ δὲ θανάτου τὰ ὀστᾶ μου.
16 οὐ γὰρ εἰς τὸν αἰῶνα ζήσομαι, ἵνα μακροθυμήσω·
ἀπόστα ἀπ᾿ ἐμοῦ, κενὸς γάρ μου ὁ βίος.
17 τί γάρ ἐστιν ἄνθρωπος, ὅτι ἐμεγάλυνας αὐτὸν
ἢ ὅτι προσέχεις τὸν νοῦν εἰς αὐτὸν
18 ἢ ἐπισκοπὴν αὐτοῦ ποιήσῃ ἕως τὸ πρωὶ
καὶ εἰς ἀνάπαυσιν αὐτὸν κρινεῖς;
19 ἕως τίνος οὐκ ἐᾷς με
οὐδὲ προΐῃ με, ἕως ἂν καταπίω τὸν πτύελόν μου ἐν ὀδύνῃ;
20 εἰ ἐγὼ ἥμαρτον, τί δύναμαί σοι πρᾶξαι,
ὁ ἐπιστάμενος τὸν νοῦν τῶν ἀνθρώπων;
διὰ τί ἔθου με κατεντευκτήν σου,
εἰμὶ δὲ ἐπὶ σοὶ φορτίον;
21 καὶ διὰ τί οὐκ ἐποιήσω τῆς ἀνομίας μου λήθην
καὶ καθαρισμὸν τῆς ἁμαρτίας μου;
νυνὶ δὲ εἰς γῆν ἀπελεύσομαι,
ὀρθρίζων δὲ οὐκέτι εἰμί.

8 1 Ὑπολαβὼν δὲ Βαλδαδ ὁ Σαυχίτης λέγει
2 Μέχρι τίνος λαλήσεις ταῦτα;
πνεῦμα πολυρῆμον τοῦ στόματός σου.
3 μὴ ὁ κύριος ἀδικήσει κρίνων
ἢ ὁ τὰ πάντα ποιήσας ταράξει τὸ δίκαιον;
4 εἰ οἱ υἱοί σου ἥμαρτον ἐναντίον αὐτοῦ,
ἀπέστειλεν ἐν χειρὶ ἀνομίας αὐτῶν.
5 σὺ δὲ ὄρθριζε πρὸς κύριον παντοκράτορα δεόμενος.
6 εἰ καθαρὸς εἶ καὶ ἀληθινός, δεήσεως ἐπακούσεταί σου,
ἀποκαταστήσει δέ σοι δίαιταν δικαιοσύνης·
7 ἔσται οὖν τὰ μὲν πρῶτά σου ὀλίγα,
τὰ δὲ ἔσχατά σου ἀμύθητα.
8 ἐπερώτησον γὰρ γενεὰν πρώτην,
ἐξιχνίασον δὲ κατὰ γένος πατέρων·
9 χθιζοὶ γάρ ἐσμεν καὶ οὐκ οἴδαμεν,
σκιὰ γάρ ἐστιν ἡμῶν ἐπὶ τῆς γῆς ὁ βίος.

**14** init.] pr. δια τι A† || **15**[1] απαλλαξεις(A† σσ pro ξ)] + δε ASc† | μου 1° > A† | ψυχην] ζωην A† | 15[2]] την δε ψυχην μου απο του σωματος μου A† || **18**[1] ποιη A† | εως > A†, εως ⌒ 19[1] εως S*† || **20**[1] δυναμαι σοι] δυνησομαι B† || **21**[1] ουκ εποι. της ανομ. μου ληθην BS†] ουκ εποι. ληθην της ανομ. μου pl., ου ληθην εποι. της αμαρτιας μου A† | 21[2] αμαρτ.] ανομιας A†
**8 2**[1] ταυτα > S*† || **4**[1] οι > SA† | 4[2] χερσιν S† | ανομιας] την -μιαν A† || **6**[1] αληθινος] + ει A† (*O* add. ※συ) | επακουσ. σου] tr. A† || **8**[1] γαρ] δε S†, > A† || **9**[2] γαρ] δε A† | επι τ. γης / ο βιος BS†] tr. rel.